# 14.Ο ΚΥΚΛΩΨ

## ΛΟΓΟΣ

### ΤΕΣΣΑΡΑΚΑΙΔΕΚΑΤΟΝ ΚΕΦΑΛΑΙΟΝ

# ΛΕΞΕΙΣ

CC BY NC SA

*Ángel Luis Gallego Real*

2

λευκός,
λευκή,
λευκόν





μέλας,
μέλαινα,
μέλαν

μέλας  λευκός

εἴτε...εἴτε...

ο... ο...



©beatrizmora

γλυκύς,
γλυκεῖα,
γλυκύ



οὐρητικός,
οὐρητική,
οὐρητικόν

©123rf



πεπτικός,
πεπτική,
πεπτικόν

**Ὁ ἑλληνικὸς οἶνος εἴτε λευκὸς εἴτε μέλας ἐστιν. Ὁ μὲν λευκὸς οἶνος γλυκύς ἐστιν, οὐρητικός καὶ πεπτικός, ...**

ποιῶ
ποιέω

hacer



διάπυρος,
διάπυρον

**…, ἀλλὰ τὴν κεφαλὴν ποιεῖ διάπυρον.**



ἡδύποτος, ἡδύποτον




τρόφιμος, τρόφιμη, τρόφιμον



ἐκλύω



ὁ στόμαχος

ἡ τροφή

↓

τρόφιμος, τρόφιμη, τρόφιμον

**Ὁ δὲ μέλας ἡδύποτος καὶ τρόφιμος, ἀλλὰ τὸν στόμαχον ἐκλύει**



ἄκρατος, ον



κεκραμένος, η, ον



μεθύω



λυπηρός, ά, όν



ὁ κρατήρ



ἔνδοξος, -ον



τὸ ἐπεισόδιον



ὁ Ὀδυσσεύς

**Οἱ Ἕλληνες οἶνον καὶ ὕδωρ κεραννύουσιν, τοῦτ᾽ ἔστιν, οὐκ ἄκρατον οἶνον πίνουσιν, ἀλλὰ κεκραμένον ὕδατι ἐν μεγάλῳ κρατῆρι. τὸ γὰρ μεθύειν ὑπὸ τοῦ οἴνου λυπηρόν ἐστιν. Ἔνδοξόν ἐστι τὸ ἐπεισόδιον τοῦ μυθικοῦ θηρίου Πολυφήμου καὶ τοῦ βασιλέως Ὀδυσσέως ἐν τῇ τῇ τοῦ Ὁμήρου Ὀδυσσείᾳ.**

6

ὁ κύκλωψ Πολύφημος

Κύκλωψ-κύκλωπος



βασιλεὺς- βασιλέως





τὸ ἄντρον

οἱ ἑταῖροι

Ὀδυσσεύς

ἐν τῇ τοῦ Ὁμήρου Ὀδυσσείᾳ



LA ODISEA

DE

HOMERO.

TRADUCIDA

por Antonio de Gironella.

BARCELONA.

IMPRENTA Y LIBRERÍA POLITÉCNICA DE TOMÁS GORCHS,

calle del Cármen junto á la Universidad.

1851.

**Ἔνδοξόν ἐστι τὸ ἐπεισόδιον τοῦ μυθικοῦ θηρίου Πολυφήμου καὶ τοῦ βασιλέως Ὀδυσσέως ἐν τῇ τοῦ Ὁμήρου Ὀδυσσείᾳ·**

## ὁ πόλεμος



## τὸ Ἴλιον



## ἀποπλέω



## ἐπανέρχομαι




## ἡ Ἑλλάς




©pinterest

**Μετὰ τὸν πόλεμον ἐν Ἰλίῳ οἱ Ἕλληνες ἀποπλέουσι καὶ εἰς τὴν Ἑλλάδα ἐπανέρχονται**

πλανάω




κατὰ + acus

por ...

ἡ Λιβύη



ἡ Σικελία




οἱ μὲν...οἱ δὲ...

unos...otros...

©pinterest

**Ὁ Ὀδυσσεὺς πλανᾶται, ὥσπερ λέγουσιν οἱ μὲν κατὰ Λιβύην, ὥσπερ λέγουσιν οἱ δὲ κατὰ Σικελίαν, ὥσπερ δὲ ἄλλοι κατὰ τὸν Ὠκεανόν.**

## κατάντάω




## οἱ λωτοφάγοι



## προσπελάζω +



©pinterest

**Πρῶτον μὲν καταντᾷ εἰς τὴν λωτοφάγων χώραν, ἔπειτα δ᾽ ἐκ τῆς χώρας τῶν λωτοφάγων ἀποπλεῖ καὶ τῇ γῇ τῶν κυκλώπων προσπελάζει.**

μετά + gen = σύν + dat

junto con



δώδεκα

οἱ ἑταῖροι

12

ἐκ (ἐξ) (+ gen)



ἀπὸ + Genitivo
→ desde, de

ἀποβαίνω



ἡ ναῦς
→ τῆς νεῶς



©pinterest

**Μετὰ δώδεκα ἑταίρων ἀποβαίνει ἀπὸ τῆς νεὼς καὶ βαδίζει ὀλίγον χρόνον.**

## τὸ ἄντρον



## πλησίον + gen

Cerca de

## ὁ Κύκλωψ Πολύφημος



©pinterest

## ἦν < εἰμι

**Δι᾿ ὀλίγου ἄντρον ὁρᾷ πλησίον τῆς θαλάσσης. Ἦν δὲ τὸ ἄντρον ἑνὸς κύκλωπος. Τίνος κύκλωπος; Ἦν τοῦ Πολυφήμου τὸ ἄντρον.**

## ὑπερμεγέθης



## ἀνδροφάγος



## ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου εἶχε





τὸ μέτωπον

©pinterest

**Ὁ Πολύφημος, ἀνὴρ ὑπερμεγέθης ἄγριος ἀνδροφάγος, τέκνον ἦν τοῦ θεοῦ Ποσειδῶνος καὶ τῆς νύμφης Θοώσης καὶ ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου εἶχε**

πλησίον τῆς θαλάσσης

+ genitivo







καθ᾽ ἡμέραν

τὸ ποίμνιον



πῦρ ἀνακαίω



εἰς + acusativo
→ a, al interior de



Χρόνον διέτριβεν ὁ κύκλωψ μόνος ἐν μεγάλῳ ἄντρῳ πλησίον τῆς θαλάσσης. Τί ἐποίει ἐκεῖ; Καθ᾽ ἡμέραν μὲν ποίμνιον ἔτρεφε, γάλα ἔπινε καὶ τυρὸν ἤσθιε. Νυκτὸς δὲ πῦρ ἀνέκαιε καὶ ἐκάθευδε. Ἔρχονται οὖν ὁ Ὀδυσσεὺς καὶ οἱ δώδεκα ἑταῖροι εἰς τὸ τοῦ κύκλωπος ἄντρον

εἰσελαύνει τὸ ποίμνιον



λίθον ὑπερμεγέθη τῇ θύρᾳ τοῦ ἄντρου προστίθησιν



προστίθημι + dat → arrimar



εἰσβαίνω



τῷ Ὀδυσσεῖ καὶ τοῖς ἑταῖροις ἔνδον συντυγχάνει



συντυγχάνω (+ dat)-->
encontrarse
casualmente con alguien

οὐδὲν λέγει



Ἄνδρα δὲ λαμβάνει καὶ κατεσθίει




**Πρῶτον μὲν τὸ ποίμνιον εἰσελαύνει καὶ λίθον ὑπερμεγέθη τῇ θύρᾳ προστίθησιν. Ἔπειτα δὲ εἰσβαίνει εἰς τὸ ἄντρον, πῦρ ἀνακαίει καὶ τὸν Ὀδυσσέα ὁρᾷ καὶ τοὺς δώδεκα ἑταίρους, ἀλλ᾽ οὐδὲν λέγει. Ἄνδρα δὲ λαμβάνει καὶ κατεσθίει.**

φοβοῦμα
ι



ἀνδρεῖος -α -ον



ὁ ἀσκός



ἐρωτῶ + acus + acus

Preguntar algo a alguien

πολύτροπος, -ον



Οὔτις




ἐρωτῶ <-> ἀποκρίνομαι

Οἱ μέν ἄνδρες φοβοῦνται, ὁ δὲ Ὀδυσσεὺς ἀνδρεῖός ἐστιν, ἔρχεται πρὸς τὸν κύκλωπα καὶ ἀσκὸν οἴνου αὐτῷ παρέχει. Πίνει οὖν ὁ κύκλωψ καὶ ἐρωτᾷ τὸν ᾿Οδυσσέα τὸ ὄνομα.”Ονομά σοι τί ἐστιν;» Ὁ δὲ Ὀδυσσεὺς πολύτροπος ἀνήρ ἐστι καὶ ἀποκρίνεται· «”Ονομά μοι Οὕτις ἐστίν.

Τότε

Entonces

ἔδομαι



πάλιν

de nuevo

μεθύω



κοιμάομαι



Τότε ὁ κύκλωψ λέγει· «Πρῶτον μὲν τοὺς ἑταίρους ἐγὼ ἔδομαι, Οὔτιν δὲ τὸ τελευταῖον.»

Ὁ δὲ Ὀδυσσεὺς οὐδὲν λέγει, ἀλλὰ πάλιν τῷ κύκλωπι δίδωσιν ἐκ τοῦ οἴνου πίνειν. Τέλος δὲ ὁ κύκλωψ μεθύει, ὕπνος αὐτὸν λαμβάνει καὶ κοιμᾶται· τὸν γὰρ ἡδύποτον οἶνον οὐκ ἐγίγνωσκε.

εὑρίσκω



Τὸ ῥόπαλον



σὺν τέσσαρσιν ἑταίροις

τέσσαρες



ἀποξύνω

τρίβω



καίω





ὁ ὀφθαλμός

**Ἐν ᾧ δ᾽ ἐκάθευδε, ὁ Ὀδυσσεὺς ῥόπαλον ἐν τῷ ἄντρῳ εὑρίσκει καὶ σὺν τέσσαρσιν ἑταίροις αὐτὸ ἀποξύνει. Ἔπειτα δὲ καίει τὸ ῥόπαλον ἐν τῷ πυρὶ καὶ ἅμα τρίβουσιν αὐτὸ οἱ πέντε ἄνδρες ἐν τῷ ἑνὶ ὀφθαλμῷ τοῦ κύκλωπος.**

τὸ αἷμα



περιρρέω

βοάω



τυφλός -ή -όν



ἡ βοή

οἱ πέριξ κύκλωπες





παραγίγνομαι

ἀδικῶ



**Ἐκ τοῦ ὀφθαλμοῦ αἷμα θερμὸν περιρρέει καὶ μέγα βοᾷ ὁ Πολύφημος· «αἰαῖ, τάλας ἐγώ, τυφλός εἰμι!» Τὴν βοὴν ἀκούουσιν οἱ πέριξ κύκλωπες, ταχέως παραγίγνονται καὶ ἐρωτῶσι τίς αὐτὸν ἀδικεῖ·**

πάσχω



τυφλῶ



τυφλός -ή -όν
↓
τυφλῶ

νομίζω





ἀπέρχομαι

**Τί ἐστιν, ὦ Πολύφημε, τί πάσχεις, τίς σε ἀδικεῖ;» Ὁ δὲ Πολύφημος ἀποκρίνεται· «Οὔτις με τυφλοῖ, ὦ φίλοι!» Οἱ οὖν κύκλωπες νομίζουσιν ὅτι οὔτις αὐτὸν ἀδικεῖ καὶ οὐδὲν πάσχει καὶ τέλος ἀπέρχονται.**

## Τῃ̃ ὑστεραίᾳ

Al día siguiente



## ἡ γαστήρ κριοῦ

## συνήθης -ες

Acostumbrado

## κρύπτω



## ἐπιζητῶ



## ἐξέρχομαι



**Τῃ̃ ὑστεραίᾳ τὸν ὑπερμεγέθη λίθον λαμβάνει καὶ τὸ ἄντρον ἀνοίγει. Τότε ἐκβαίνει τὸ ποίμνιον ἐκ τοῦ ἄντρου· τὴν γὰρ συνήθη τροφὴν ἐπεζήτει καθ᾽ ἡμέραν ἐν τῷ ἀγρῷ. Ὁ οὖν Ὀδυσσεὺς ὑπὸ τὴν γαστέρα μεγάλου καὶ καλοῦ κριοῦ κρύπτεται.Κρύπτονται καὶ οἱ ἑταῖροι ὑπὸ τὴν γαστέρα κριῶν καὶ σὺν τῷ ποιμνίῳ ἐκ τοῦ ἄντρου ἅμα ἐξέρχονται**

τρέχω



εἰσελαύνω



ἀποπλέω



ἀναβοῶ



ὁ ἥρως



**Τρέχουσιν οὖν πρὸς τὴν ναῦν καὶ τὸ τοῦ Πολυφήμου ποίμνιον εἰσελαύνουσιν. Ἐπεὶ δὲ εἰσβαίνουσιν εἰς τὴν ναῦν καὶ ἀποπλέουσιν, ἀναβοᾷ ὁ ἥρως τῷ κύκλωπι ὅτι τὸ ὄνομα αὐτοῦ Ὀδυσσεύς ἐστιν·**

μανθάνω



ὁ δόλος




βάλλω



βυθίζω



σώζω



μηνίω



**Ἐπεὶ δὲ τὸ ὄνομα μανθάνει καὶ τὸν τοῦ Ὀδυσσέως δόλον, λίθον βάλλει ὑπερμεγέθη εἰς τὴν θάλασσαν, ἀλλὰ τὴν ναῦν οὐ βυθίζει. Σώζονται οὖν οἱ Ἕλληνες ἐν τῇ νηὶ καὶ τὰ ποίμνια. Ἐκ τούτου δὲ μηνίει ὁ Ποσειδῶν τῷ Ὀδυσσεῖ.**